Fortissimi quidem Lacedæmonij cum tibia sub signis sunt: Cretenses cum lyra: cum fistulis & tibiis Lydi, vt scribit Herodotus. Ex barbaris multi legatos ad hostes cũ tibiis & cithara mittunt [c], vt eorum infestas mentes emolliant. Theopompus libro quadragesimo sexto historiarum tradit Getarũ legatos citharas pulsantes aduenire, vnde verisimile est, Homerum priscum illum Græciæ statum & morem conseruantem dixisse,

Citharæ quam sociam epularum dij fecerunt,

tanquam vtilis etiam conuiuantibus ars musica sit. Fuit autem, vt probabile est, veluti lege id sancitum, primùm quidem vt eorum qui ad satietatem & temulẽtiam edissent atque bibissent, mederetur petulantiæ ac insolentiæ musica, quæ impotentiam animi temerariam non solùm cohibet, & mitigat, sed etiam discussa tristitia lenitatem affert, liberalémque lætitiam: quapropter Homerus in prima parte Iliadis post ambitiosam illam de Achille contentionem, fingit musica deos recreari:

Perstabant enim audientes
Citharæ pulcherrimæ sonum, quam Apollo tenebat,
Ac musas, quæ vicissim canebant dulci voce.

Sic enim par erat iurgia & seditionem placari, vt antea diximus. Videntur ergo multi in hominum conuentibus illam sciẽtiam musices approbasse, quòd ad motus animi sedandos prosit: at prisci homines consuetudine legeq́; deorum hymnos

A Αλκαῖος γοῦν ὁ ποιητὴς, εἴ τις καὶ ἄλλος μουσικότατος γενόμενος, πρότερα τῶν κατὰ ποιητικὴν τὰ κατὰ τὴν ἀνδρείαν τίθεται, μᾶλλον τοῦ δέοντος πολεμικὸς γενόμενος. διὸ καὶ ἐπὶ τοῖς τοιούτοις σεμνυνόμενος φησὶν,

Μαρμαίρει δὲ μέγας δόμος χαλκῷ·
Πᾶσα δ' Αρει κεκόσμηται στέγη,
Λαμπραῖσι κυνέαισιν· κατ' ἄν
Λευκοὶ καθύπερθεν ἵππιοι λόφοι
Νεύουσιν, κεφαλαῖσιν ἀνδρῶν ἀγάλματα.
B Χάλκειαι δὲ πασσάλοις κρυπτοῖσιν
Περικείμεναι λαμπραὶ κναμίδες
Ερκος ἰσχυροβελὲς ‖ θώρακές τε [νέῳ λίνῳ,]
[‖ Κοῖλαί τε κατασσίδες βεβλημένον.]
‖ Πὰρ δὲ ‖ Χαλκιδικαὶ σπάθαι,
Πὰρ δὲ ζώματα πολλὰ καὶ [κυππατίδες,]
Τῶν οὐκ ἔστι λαθέσθαι ‖ ἐπειδὴ
[Πρώτιστα] ὑπὸ ἔργον ἔσταμεν τόδε. καί τοι
μᾶλλον ἴσως ἥρμοττε τὴν οἰκίαν πλήρη εἶναι μουσικῶν
C ὀργάνων· ἀλλ' οἱ παλαιοὶ τὴν ἀνδρείαν ὑπελάμβανον εἶναι μεγίστην τῶν πολιτικῶν ἀρετῶν, [καὶ ταύτῃ τὰ πολλὰ προσνέμειν οὐ τοῖς ἄλλοις.] Αρχίλοχος οὖν ἀγαθὸς ὢν ποιητὴς, πρῶτον ἐκαυχήσατο τὸ δύνασθαι μετέχειν τῶν πολιτικῶν ἀγώνων. δεύτερον δὲ ἐμνήσθη τῶν περὶ τὴν ποιητικὴν ὑπαρχόντων αὐτῷ, λέγων,

ΕΙμὶ δ' ἐγὼ θεράπων μὲν Ενυαλίοιο ἄνακτος,
Καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

Ομοίως δὲ καὶ ‖ Αἰσχύλος τηλικαύτην δόξαν ἔχων
D διὰ τὴν ποιητικὴν, οὐδὲν ἧττον ἐπὶ τοῦ τάφου ἐπιγραφῆναι ἠξίωσε μᾶλλον τὴν ἀνδρείαν, ποιήσας.

‖ Αλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι,
Καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

Διόπερ καὶ οἱ ἀνδρειότατοι Λακεδαιμόνιοι μετ' αὐλῶν στρατεύονται, Κρῆτες δὲ μετὰ λύρας, μετὰ δὲ συρίγγων καὶ αὐλῶν Λυδοὶ, ὡς Ηρόδοτος ἱστορεῖ. πολλοὶ δὲ καὶ τῶν βαρβάρων τὰς ἐπικηρυκείας ποιοῦνται μετ' αὐλῶν καὶ κιθάρας, καταπραΰνοντες τῶν ἐναντίων τὰς ψυχάς. Θεόπομπος δ' ἐν τεσσαρακοστῇ
E ἕκτῃ τῶν ἱστοριῶν, Γέται φησὶ κιθάρας ἔχοντες, καὶ κιθαρίζοντες τὰς ἐπικηρυκείας ποιοῦνται, ὅθεν ἔοικε καὶ Ομηρος διατηρῶν τὴν ἀρχαῖαν τῶν Ελλήνων κατάστασιν, λέγειν.

Φόρμιγγος θ' ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην, ὡς καὶ τοῖς εὐωχουμένοις χρησίμης οὔσης τῆς τέχνης. ἣν δ', ὡς ἔοικε, τοῦτο νενομισμένον. πρῶτον μὲν ὅπως ἕκαστος τῶν εἰς μέθην καὶ πλήρωσιν ὁρμημένων, ἰατρὸν λαμβάνῃ τῆς ὕβρεως, καὶ τῆς ἀκοσμίας τὴν μουσικὴν, εἶθ' ὅτι τὴν αὐθάδειαν πραΰνει. περιαιρουμένη γὰρ τὴν συγνότητα ποιεῖ πρᾳότητα καὶ χαρὰν ἐλευθέριον. ὅθεν καὶ Ομηρος εἰσήγαγε τοὺς θεοὺς χρωμένους ἐν τοῖς πρώτοις τῆς Ιλιάδος τῇ μουσικῇ, μετὰ τὴν περὶ τὸν Αχιλλέα φιλοτιμίαν. διετέλουν γὰρ ἀκροώμενοι

Φόρμιγγος περικαλλέος, ἣν ἔχ' Απόλλων,
παύσασθαι γὰρ ἔδει τὰ νείκη καὶ τὴν στάσιν καθάπερ λέγομεν. ἐοίκασιν οὖν οἱ πολλοὶ τὴν ἐπιστήμην ἀποδιδόναι ταῖς συνουσίαις ἐπανορθώσεως χάριν καὶ ὠφελείας. ἀλλὰ μὴν οἱ ἀρχαῖοι καὶ περιέλαβον ἔθεσι, καὶ νόμοις τοὺς τῶν θεῶν ὕμνους

Μουσάων αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.

CAP. VI.
γρ. νέῳ λίνῳ
γρ. Κεῖνται δὲ καὶ ἀσπίδες βεβλημένων, vel, Κεῖσθαι καὶ ἀσπ.
γρ. κυπασίδες.
γρ. Πρώτιστοι
γρ. καὶ ταύτῃ τὰ πολλὰ, vel, τὰ πολιτικὰ, δεῖν προσνέμειν οὐ ταῖς ἄλλαις vel, τοῖς ταύτην ἔχουσι τὰ πολλὰ δεῖν προσνέμειν οὐ τοῖς ἄλλοις.

ἀεὶν ἅπαντας ἐν ταῖς ἑστιάσεσιν, ὅπως καὶ διὰ τούτων τηρῆται τὸ καλὸν καὶ σωφρονικὸν ἡμῶν. ἐναρμονίων γὰρ ὄντων τῶν ἀσμάτων, ἁρμόζηται καὶ ὁ τῶν ἠθῶν λόγος, ἀποσεμνύει τὸν ἑκάστων τρόπον. φιλόχορος δέ φησιν, ὡς οἱ παλαιοὶ οὐκ ἐνδόξους, οὐκ ἀεὶ διθυραμβοῦσιν, ἀλλ' ὅταν αὐτοὺς ἐνδῶσι τὸν μὲν Διόνυσον ἐν οἴνῳ καὶ μέθῃ, τὸν δ' Ἀπόλλωνα μεθ' ἡσυχίας καὶ τάξεως μέλποντες. Ἀρχίλοχος γοῦν φησὶν, ὡς Διονύσοιο ἄνακτος καλὸν ἐξάρξαι μέλος οἶδα διθύραμβον, οἴνῳ συγκεραυνωθεὶς φρένας. καὶ Ἐπίχαρμος δ' ἐν Φιλοκλήτῃ ἔφη, Οὐκ ἔστι διθύραμβος [οὐχ ὕδωρ πίνῃς.] ὅτι μὲν οὖν οὐχ ἡδονῆς χάριν ὑπὸ παλαιοῦ καὶ δημοτικῆς ἡ μουσικὴ παρῆλθε, καταρχὰς εἰς τὰς ἑστιάσεις, ὥσπερ ἔνιοι νομίζουσιν φανερὸν ἐκ τῶν εἰρημένων. Λακεδαιμόνιοι δέ, εἰ μὲν ἐμάνθανον τὴν μουσικὴν, οὐδὲν λέγουσιν. ὅτι δὲ κρίνειν δύνανται καλῶς τὴν τέχνην, ὁμολογεῖται παρ' αὐτῶν. καὶ φασὶ ‖ τρὶς ἤδη σεσωκέναι διαφθειρομένην αὐτὴν, καὶ πρὸς γυμνασίαν ἢ καὶ ὀξύτητα διανοίας συμβάλλεσθαι ἡ μουσική· διὸ καὶ τῶν Ἑλλήνων ἕκαστοι καὶ τῶν βαρβάρων οἱ γινωσκόμενοι τυγχάνουσι χρώμενοι, οὐ κακῶς ἢ λέγουσιν οἱ περὶ Δάμωνα τὸν Ἀθηναῖον, ὅτι καὶ τὰς ᾠδὰς καὶ τὰς ὀρχήσεις ἀνάγκη γίνεσθαι κινουμένης πως τῆς ψυχῆς, καὶ αἱ μὲν ἐλευθέριοι καὶ καλαὶ ποιοῦσι τοιαύτας· αἱ δ' ἐναντίαι, τὰς ἐναντίας· ὅθεν καὶ τὸ Κλεισθένους, τοῦ Σικυωνίων τυράννου χάρεν καὶ σημεῖον διανοίας πεπαιδευμένης. ἰδὼν γὰρ, ὡς φασι ‖ φορτικῶς ὀρχησάμενον ἕνα τῶν τῆς θυγατρὸς μνηστήρων, (Ἱππόκλειδης δ' ἦν ὁ Ἀθηναῖος) ἀπορχήσασθαι τὸν γάμον αὐτὸν ἔφησε, νομίζων ὡς ἔοικε καὶ τὴν ψυχὴν τἀνδρὸς εἶναι τοιαύτην. καὶ γὰρ ἐν ὀρχήσει καὶ πορείᾳ, καλὸν μὲν εὐσχημοσύνη καὶ κόσμος, αἰσχρὸν δ' ἀταξία καὶ φορτικόν. διὰ τοῦτο γὰρ καὶ ἐξ ἀρχῆς ‖ σωφρονοῦντες οἱ ποιηταὶ τοῖς ἐλευθέροις τὰς ὀρχήσεις, καὶ ἐχόντων τοῖς ‖ σχήμασι σημείοις μόνον τῶν ἁρμοττόντων. τηροῦντες ἀεὶ τὸ εὔχλοες καὶ ἀνδρῶδες ἐπ' αὐτῶν, ὅθεν καὶ ὑπορχήματα τοιαῦτα πεποιηκότες. εἰ δέ τις ἀμέτρως ‖ διαθείη τὴν σχηματοποιΐαν, καὶ ταῖς ᾠδαῖς ἀπιτυγχάνων μηδὲν ‖ λέγοι κατὰ τὴν ὄρχησιν, οὗτος δ' ἦν ἀδόκιμος. διὸ καὶ Ἀριστοφάνης ἢ Πλάτων ἐν ταῖς Σκηναῖς, ὡς Χαμαιλέων φησὶν, εἰρηκεν οὕτως, ὡς εἴ τις ὀρχοῖτ' εὖ, θεαμ' ἦν. νῦν δ' ὁρῶσιν οὐθέν, ἀλλ' ὥσπερ ἀποπληκτοι σάθλοι ἑστῶτες ὠρύονται. ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς χοροῖς εὔσχημον τότε καὶ μεγαλοπρεπὲς, καὶ ὡσανεὶ τὰς ἐν τοῖς ὁπλοις κινήσεις ἀπομιμούμενον. ὅθεν καὶ Σωκράτης ἐν τοῖς ποιήμασι τοὺς κάλλιστα χορεύοντας ἀρίστους φησὶν εἶναι τὰ πολέμια, λέγων οὕτως,

Οἱ δὴ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
Ἐν πολέμῳ. σχεδὸν γὰρ ὥσπερ ἐξοπλισία τις ἦν ἡ χορεία, καὶ ἀπόδειξις οὐ μόνον τῆς λοιπῆς εὐταξίας, ἀλλὰ καὶ τῆς τῶν σωμάτων ἐπιμελείας.

& laudes in conuiuiis ab omnibus cantari iusserunt, vt reuerentia numinum, eius quod honestũ ac moderatum est, fines non transilirent. Adiuncta namq; musicis numeris de diis oratione, magis compositi fiunt, & graues cuiusque mores. Philochorus auctor est, non semper veteres, cùm libarent, vsos fuisse dithyrambis [a], sed vino madidos, ac temulentos, & Liberum patrem si inuocarent: sin Apollinem, placidè & ordinatè cecinisse. Itaque Archilochus ait:

Bacchi regis canticum elegans dithyrambicum auspicari scio,
Vini fulmine percussa mente:

Epicharmus verò in Philoctete [b]:

Dithyrambum, inquit, *nullum futurum, aquam si bibas.*

Nõ ergo leuiusculæ ac triuialis voluptatis caussa, principiò musicã in conuiuia receptam fuisse, vt quidam arbitrantur, planum est ex iis quæ diximus. Lacedæmonij an musicam docerẽtur nec ne, haud certũ est. De arte illos iudicare potuisse, & corruptã, ab illis ter conseruatam, restitutámque fuisse, nemo ambigit. Ad exercẽdam acuendámq; mentem cõfert & musica: quocirca apud singulas nationes tum Græcorum, tum Barbarorum, quorum nobis innotuerunt leges ac instituta, in pretio est. Itaque, vt non insciter Damon Athenienſis dixit, agitato prorsus animo cantiones atq; saltationes fieri necessum est, liberales ac speciosas ab animis eiusmodi, contrarias ab iis quibus animus diuersus est. Festiuum fuit Clisthenis tyranni Sicyoniorum dictum, ac indicium mentis bonis artibus eruditæ, qui Athenienſem Hippocleidẽ vnum ex procis filiæ laboriosiùs saltantem conspicatus, eum dixit ob illam tam grauem saltationẽ excidisse [c] nuptiis, ratus, vt credibile est, hominis eiusmodi animũ fuisse. Nam & inter saltandum, & inter ambulandum pulcher est ordinatus & honestus [d] corporis habitus: contra odiosa & turpis incondita & cõfusa peruersitas [e]. Quapropter, ab omni memoria hoc si repetatur, poëtæ semper ingenuis saltationum modos præstituerunt, figuras depingẽtes [f], quæ cautionũ essent notæ, diligenter id præscribentes quod virile ac generosum esset, quamobrẽ & hyporchemata [g] illa nuncuparunt. In eo ludo si quis præter iustum ac præfinitum modum, corporis habitũ figurasset, aut cantantibus interueniens nihil saltando caneret, indignum putabant qui laudaretur: Qua de caussa siue Aristophanes, siue Plato in Tentoriis, vt Chamæleon inquit, sic dixit:

Itaque si quis probè saltaret, iucundum id spectaculum erat:
Nunc autem otiosi & desides nihil agunt,
Sed vt attoniti, rugientes vociferantur, pedibus insistentes.

Fuit enim in choris saltationis genus cum dignitate ac magnificentia, & quod armatorum velut motus imitaretur. Ob id videlicet, in suis poëmatibus Socrates inquit, eos qui optimè saltant, ad bellicas res esse idoneos, his verbis:

Qui choris religiosissimè deos venerantur, sunt
In bello strenuissimi.

Est enim saltatio velut armaturæ instructæ ad procinctum meditatio, in qua spectatur non tantùm ordinis conseruatio & modestiæ, sed etiam qua corpus diligentia curatum sit.

Amphion

Amphion Thespiensis libro secundo De musæo quod in Helicone est, accuratas fieri puerorum in Helicone saltationes ait: & vetustum de illa re epigramma hoc citat:

Ambo hæc præstiti: saltiani, & musicam docui
Homines: tibicen verò fuit Anaxus Phibalensis [a],
Sum autem Baccheidas Sicyonius: diu profectò
Sicyonijs pulchrum hoc decus repositum est.

Non ineptè Cephesias [b] tibicen, cuidam ex discipulis altissimo sono tibiam inflare conanti, & id meditanti, dixit manu feriens, in ea soni magnitudine sitam non esse artis bonitatem, sed vt rectè sonus in magnitudinem attollatur. Sunt autem priscorum artificum [c] statuæ, veterum saltationis reliquiæ. Quamobrem hac de caussa manuum gestus attentiùs sunt distincti, ac constituti, quoniam & in illis decoros motus requirerent, ac liberales, quod maximum est ad id referentes, vt bene fiat. Inde scilicet figurationes corporis probas choris adaptabant, & ex choris assumptas, palæstris, musica, & sedula corporis exercitatione, ad nanciscendam animi fortitudinem proficientes: quin & armatum corpus vario exercitationis motu lassabant, vnde saltationes Pyrrhichæ originem habuerunt. & omnes id genus aliæ, quarum sunt multiplices appellationes: apud Cretenses Orsites, Epicredios, & Apocinos, cuius meminerunt Cratinus in Nemesi, Cephisodorus in Amazonibus, Aristophanes in Centauro, & alij complures, post dicta Mactrismus, quam fœminæ multæ saltabant, ob id nominatæ Martypiæ [d]. Reliqua tripudiorum genera simpliciora, & in quibus minus varietatis [e] est ac iactationis vocantur Dactyli Iambici, Molossica modulatio, Cordax, Sicinnis Persica, Phrygia, Nicatismus Thracius, Calabrismus, Telesias, Macedonia, quam Ptolemæus cùm saltasset, Alexandrum Philippi fratrem occidit, vt scribit Marsyas libro tertio rerum Macedonicarum. Furiosæ sunt Cernophoros, Mongas, Thermautris: popularis & plebeia Anthema, quam saltantes cùm sese mouerent, hoc accinebant, Vbi mihi rosæ? vbi mihi violæ? vbi mihi formosum apium? Apud Syracusios Chitoneas peculiaris Dianæ & saltatio, & tibiarum cantio est. Ionicam saltabant inter pocula, & Angelicam, qua vt exactiùs tripudiarent, multum adlaborabant. Est alia, quam Incendium [f] mundi vocabant. Eius meminit Menippus Cynicus in Conuiuio. Ridiculæ sunt, Igdis, Mactrismos, Apocinos. Sobas, Morphasmos, Noctua, Leo, Farinarum effusio, Nouæ [g] tabulæ, Elementa, Pyrrhiche. Ad tibias saltabant in ea quam Celeustæ [h] vocabant, & in ea quam Pinacidem. Saltationum quoque species sunt Xiphismus, Calathismus, Callabides [i], Scops [k], Scopeuma. In Scope manum curuam [l] fronti & oculis prætendebant, qua figura nos aliquid procul aspectamus. Antiquorum Scopeumatum Æschylus meminit in Theoris [m]:

A Ἀμφίων ὁ Θεσπιεὺς ἐν δευτέρῳ Περὶ μουσείου, ἀγεαδᾶς φησὶν ἐν Ἑλικῶνι παίδων ὀρχήσεις μιμεῖσθαι, ὧδε πεπηθυίας· ἀρχαῖον ἐπίγραμμα τόδε,

Ἀμφότερ' ὠρχησάμην τε καὶ ἐν Μούσαις ἐδίδαξον
Ἀνδρας· ὁ δ' αὐλητὴς ἦν Ἀναξος Φιαλεύς. χρὴ γὰρ θεοῖσιν Εἰ Σικ.
Εἰμὶ δ' ὁ Βακχείδας Σικυώνιος· ἧρα θεοῖσι,
Τῷ Σικυῶνι κάλλιον τοῦτ' ἀπέκειτο γέρας.

B Οὐ πάνυ δὲ Καφησίας ὁ αὐλητὴς ὑπεκαλλομένου τινὸς τῶν μαθητῶν αὐλεῖν μέγα καὶ τέλος μελῳδοῦντος, παίξας εἶπεν· οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κεῖσθαι εἶναι, ἀλλὰ ἐν τῷ εὖ τὸ μέγα. ἔστι δὲ καὶ τῶν ἀρχαίων δημιουργῶν ἀγάλματα τὰ παλαιὰς ὀρχήσεως λείψανα· διὸ δὲ σωθέντα καὶ τὴν χειρονομίαν ὑπεμελέσθη διὰ ταύτην τὴν αἰτίαν. ἐζήτουν γὰρ καὶ ταύτην κινήσεις καλὰς, καὶ ἐλευθερίους ἐν τῷ εὖ τὸ μέγα ἁρμόζουσας, καὶ τὰ σχήματα μεταφέρον ἐντεῦθεν εἰς τοὺς χορεύοντας, ὅτε δὲ τοὺς χορεύοντας εἰς τὰς παλαίστρας. 312

C καὶ γὰρ ἐν τῇ μουσικῇ, κἀν τῇ τῶν σωμάτων ὑπομελέτῃ πλεῖστοι εἶδον τὴν ἀνδρείαν, καὶ πρὸς τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἐγυμνάζοντο μετὰ τοῦ ᾠδῆς, ὅθεν ἐκινήθησαν αἱ καλούμεναι [πυρρίχαι. καὶ πᾶς ὁ ποιεῖσθαι τρόπος τῆς ὀρχήσεως, αἱ πολλαὶ] παρονομασίαι αὐτῶν, ὡς φασὶ Κρῆτες ὁ Ὀρσίτης καὶ ὑπικρηδιος. τὸ δὲ ἀποκίνημα καλούμενον ὄρχησιν, ἧς μνημονεύει Κρατῖνος ἐν Νεμέσει, καὶ Κηφισόδωρος ἐν Ἀμαζόσιν, Ἀριστοφάνης τ' ἐν Κενταύρῳ, καὶ ἄλλοι πλείονες) ὕστερον μαλακρισμὸν ὠνόμασαν· τὰς δὲ πολλαὶ γυναῖκες ὠρχοῦντο, ἃς καὶ μαρκυπίας ὀνομάζομεν ἃς ἴδα. τὰ δὲ σεμνότερα καὶ ποικιλώτερα, καὶ τὴν ὄρχησιν ἀπολουστέραν ἔχοντα καλεῖται δάκτυλος, ἰαμβικὴ, μολοσσικὴ ἐμμέλεια κόρδαξ, σίκιννις, Περσικὴ Φρύγιος, νικαλισμὸς Θρᾴκιος, καλαβρισμὸς, τελεσιὰς, ἀπὸ Τελεσίου πρώτου μίμου τούτων ὀρχησαμένου. Μακεδονικὴ δὲ ἐστὶν αὕτη ὄρχησις, ἣν χρησάμενοι οἱ περὶ Πτολεμαῖον, Ἀλέξανδρον τὸν Φιλίππου ἀδελφὸν ἀνεῖλον, ὡς ἱστορεῖ Μαρσύας ἐν τρίτῳ Μακεδονικῶν. μανιώδης δὲ ἐστὶν ὀρχήσις κερνοφόρος· μόγγας δὲ θερμαυστρίς. ᾗ δὲ καὶ τῆς ἰδιώτας ἡ καλουμένη αὐθέμα. τούτῳ δὲ ὠρχοῦντο μετὰ λέξεως τοιαύτης μιμούμενοι δὲ λέγοντες· ποῦ μοι τὰ ῥόδα; ποῦ μοι τὰ ἴα; ποῦ μοι τὰ καλὰ σέλινα, καὶ ἐν Συρακουσίοις καὶ χιτωνέας Ἀρτέμιδος ὄρχησίς τίς ἐστιν ἴδιος καὶ αὐλησις. ᾗ δέ τις δὲ Ἰωνικὴ ὄρχησις παρείνιος. καὶ τὴν ἀγγελικὴν ἢ παρθένιον ἠκρίβωσεν ὄρχησιν. καλεῖται δέ τις δὲ ἄλλη ὄρχησις, κόσμου ἐκπύρωσις, ἧς μνημονεύει Μένιππος ὁ κυνικὸς ἐν τῷ Συμποσίῳ. καὶ γελοῖαι δέ εἰσιν ὀρχήσεις ἴγδις δὲ μακτρισμὸς, ἀποκινός τε καὶ σόβας. ἔτι δὲ μορφασμὸς καὶ γλαυξ, καὶ λέων, ἀλφίτων τε ἐκχύσεις, καὶ χρεῶν ἀποκοπὴ, καὶ στοιχεῖα καὶ πυρρίχη. μεθ' αὐλῶν δὲ ὠρχοῦντο τὴν τοῦ κελοδοῦ, καὶ τὴν καλουμένην πινακίδα. σχήματα δέ ἐστιν ὀρχήσεως ξιφισμὸς, καλαθισμὸς, καλλακίδες, σκώψ, σκώπτυλμα. ᾗ δὲ ὁ σκώψ τῶν ἀποσκοπούντων τὸ χεῖρα ὑπὲρ τοῦ μετώπου

CAP. VII.

κεκυρτωκότων. μνημονεύει Αἰσχύλος ἐν Θεωροῖς. Καὶ μὴν παλαιῶν τῶν δέ σοι σκωπτυλμάτων.

Καλλαβίδων δ' ΕΥπολις ἐν Κόλαξι, Καλλαβίδας δὲ βαίνει. Σησαμίδας ὃ κέλευ[‖ θαυμαστρις, ‖ κατερίδες,] σκοπὸς, χεὶρ καταπύξιμος χερσὶ, μηδιπορισμὸς, ξύλα ὑπόληψις, ἐπαγκωνισμὸς, καλαθισμὸς, ἑρπύλ. καὶ Τελεσιὰς δ' ἐστὶν ὄρχησις καλουμένη, σκαπωπτικὴ δ' ἐστὶν αὕτη ἀπό τινος ἀνδρὸς Τελεσίου λαβοῦσα τοὔνομα, μεθ' ὅπλων τὸ πρῶτον αὐτὴν ἐκείνου ὀρχησαμένου, ὡς φησιν Ἱππαγόρας ἐν τῷ πρώτῳ περὶ τῆς Καρχηδονίων πολιτείας. καλεῖται δ' ἡ μὲν Σαλυμικὴ ὄρχησις, ὡς φησὶν Ἀριστοκλῆς ἐν ὀγδόῳ τῶν περὶ χορῶν σικιννις, καὶ οἱ Σάτυροι σικιννισταί. τινὲς δέ φασι ‖ Σίκιννόν τινα βάρβαρον εὑρετὴν αὐτῆς γενέσθαι. ἄλλοι δὲ Κρῆτα λέγουσι τὸν γενόμενον εἶναι Σίκιννον. ὀρχηστικὴ δ' οἱ Κρῆτες, ὡς φησιν Ἀριστόξενος. ‖ Σκάμμων δ' ἐν πρώτῳ Περὶ ῥυθμάτων σικιννιν αὐτὴν εἰρῆσθαι ἀπὸ τοῦ σείεσθαι, καὶ πρῶτον ὀρχήσασθαι τὴν σικιννιν Θέρσιππον. ‖ πρώτη δ' ὑπορχηματικὴ περὶ τοὺς πόδας κίνησις τῆς διὰ τῶν χειρῶν. οἱ γὰρ παλαιοὶ τοὺς πόδας μᾶλλον ἐγυμνάζοντο ἐν τοῖς ἀγῶσι, καὶ τοῖς κωμῳδησίοις. οἱ δὲ Κρῆτες κωμῳδητικοὶ, διὸ καὶ ποδώκεις. εἰσὶ δέ τινες οἳ καὶ φασὶ, τὴν σικιννιν ποιητικῶς ὠνομάσθαι ἀπὸ τῆς κινήσεως, ἣν καὶ οἱ Σάτυροι ὀρχοῦνται ταχυτάτην οὖσαν. οὐ γὰρ ἔχει πάθος αὕτη ἡ ὄρχησις, διὸ οὐδὲ ἀναιδής. συνέστηκε δὲ καὶ Σατυρικὴ πᾶσα ποίησις τὸ παλαιὸν ἐκ χορῶν, ὡς καὶ ἡ τότε τραγῳδία· διόπερ οὐδὲ ὑποκρίσεις εἶχον. τρεῖς δ' εἰσὶ τῆς σκωπτικῆς ποιήσεως ὀρχήσεις, τραγικὴ, κωμικὴ, σατυρικὴ. ὁμοίως δὲ καὶ τῆς λυρικῆς ποιήσεως τρεῖς. ‖ πυρρίχη, γυμνοπαιδικὴ, ὑπορχηματικὴ· καί ἐστιν ὁμοία ἡμῖν πυρρίχη τῇ σατυρικῇ· ἀμφότεραι γὰρ διὰ ταχέων. πολεμικὴ δ' δοκεῖ εἶναι ἡ πυρρίχη. ἐνόπλοι γὰρ αὐτὴν παῖδες ὀρχοῦνται. τάχους δὲ δεῖ τῷ πολέμῳ εἰς τὸ διώκειν, καὶ εἰς τὸ ἡττωμένους

‖ φεύγειν, μηδὲ μένειν ‖ μηδ' αἰδεῖσθαι κακοὺς εἶναι. ἡ δὲ γυμνοπαιδικὴ παρεμφερής ἐστι τῇ τραγικῇ ὀρχήσει, ἥτις ἐμμέλεια καλεῖται· ἐν ἑκατέρᾳ δὲ ὀρᾶται τὸ βαρὺ καὶ σεμνόν. ἡ δ' ὑπορχηματικὴ τῇ κωμικῇ εἰκειοῦται, ἥτις καλεῖται κόρδαξ. παιγνιώδεις δ' εἰσὶν ἀμφότεραι. Ἀριστόξενος δέ φησι τὸν πυρρίχιον ἀπὸ Πυρρίχου τοῦ Λάκωνος τὸ γένος τὴν ἐπωνυμίαν λαβεῖν. Λακωνικὸν δ' εἶναι μέχρι καὶ νῦν ὄνομα τὸν Πύρριχον. ἐμφανίζει δ' ἡ ὄρχησις πολεμικὴ οὖσα, ὅτι Λακεδαιμονίων τὸ εὕρημα. πολεμικοὶ δ' εἰσὶν οἱ Λάκωνες, ὧν ἔτι καὶ τὰ ἐμβατήρια μέλη ἀναλαμβάνουσιν, ἅπερ καὶ ἐνόπλια καλεῖται. καὶ αὐτοὶ δ' οἱ Λάκωνες ἐν τοῖς πολέμοις τὰ Τυρταίου ποιήματα ἀπομνημονεύοντες ἔνρυθμον κίνησιν ποιοῦνται. Φιλόχορος δέ φησι, κρατήσαντας Λακεδαιμονίους Μεσσηνίων διὰ τὴν Τυρταίου στρατηγίαν, ἐν ταῖς στρατείαις ἔθος ποιήσασθαι ἀεὶ δειπνοποιήσαντας ἐπαναπίστωσιν, ᾄδειν καθ' ἕνα Τυρταίου. κελεύειν δὲ τὸν πολέμαρχον καὶ ἆθλον διδόναι τῷ νικῶντι, κρέας.

A Callabidum sic EVpolis in Assentatoribus:

Ambulans a saltat Callabidas, è Sesamo placentas cacat.

χ. thermastris, Caterides,

Eiusmodi sunt & Thaumastris, Caterides, Scopos, Prona manus, Medipodismus, Lignum in manus sumptum, Epanconismus b, Strobilus. Militaris saltatio fuit Telesias, sortita nomen à Telesia quodam, qui primus illam saltauit armatus, vt scribit Hippagoras libro primo de Carthaginensium republica. Satyricam saltationem Sicinnin esse tradit Aristocles octauo libro De choris: Sicinnistas enim Satyros vocari. Quidam aiunt, Sicinnin Barbarum hominem eius inuentorem fuisse: alij Cretensem natione quendam, nomine Sicinnum. Est autem ea gens saltandi studiosa, & perita, vt inquit Aristoxenus. Scamon libro primo de inuentoribus rerũ, ait Sicinnin dictam fuisse, ἀπὸ τοῦ σείεσθαι, à corporis succussu, & primum Thersippum illa tripudiasse. Motum pedum priùs repertum fuisse quàm manuum, indubitatum. Antiquis enim pedes magis in publicis ludis c exercebantur, & in venatu, quàm manus. Sunt autem venationi dediti Cretenses, ideóque pernices. Quidam Sicinnin poëtica licentia dictam voluit ἀπὸ τῆς κινήσεως, à corporis motu, cáque citissima tripudiare Satyros. Affectum ea nullum monstrat animi, ideóque saltantium motus ac gestus nihil mutatur. Olim quidem poëmata Satyrica choris omnia constabant, vt & eo sæculo tragœdia, quamobrem ab histrionibus agebantur. Tres porrò sunt in scenica poësi saltationes, Tragica, Comica, Satyrica d: totidé & Lyricæ poëseos, Pyrriche e, Gymnopædice f, Hyporchematice g. Est autem Pyrrhiche Satyricæ similis: vtraque velox, & tumultuosa: & Pyrrhiche h quidem militaris: armati iuuenes illam saltant. Celeritate in bellis opus est, tum vt instemus fugienti hosti, tum vt victi periculum fuga nos euadamus, nec in eodem vestigio consistamus, stulto pudore metuentes ignominiam. Gymnopædice affinis est saltationi tragicæ, quam ἐμμέλειαν i nuncupant. In vtraque apparet venerabilis quædam grauitas. Hyporchematice ei non absimilis est Comicæ, quam appellant Cordacem: vtraque est iocosa ac ludicra. Aristoxenus scribit Pyrrhichen nominatam fuisse à Pyrrhicho natione Lacedæmonio. Vocabulum certè etiamnum Laconicum est Pyrrhichus. Militaris ea videtur saltatio Spartanorum inuentum: & alioqui bellicosi Lacedæmonij, quorum addiscunt filij Embateria. Modorum k id genus est, quod & Enoplion vocant. Idem Lacedæmonij præliaturi Tyrtæi versus l recitantes numeroso passu gradiuntur. Philochorus scribit, Lacedæmonios Tyrtæi ductu & auspiciis cùm Messenios deuicissent, in exercitibus ac expeditionibus inolescere morem voluisse, vt quoties cœna conuiuis frequens appararetur, cum Pæanibus m, seorsim ac vitiatim vnusquisque Tyrtæi versus caneret: cognitor verò ac iudex esset imperator, carnem pro præmio illi daturus, qui alios cantu superasset.

Apud cæteros Græcos abolita est Pyrrhiche, qua obsoleta etiam bella finiri contigit. Soli eam Lacedæmonij retinuerunt, vt quandam belli præmeditationem. Itaque Spartæ omnes mox post annum quintum Pyrrhichen saltare consuescunt. Nostra verò Pyrrhiche magis esse videtur Bacchica, longè quàm prisca illa placidior, quandoquidem hastarum loco thyrsos [a] gestant saltantes, eósque alij mutuo in alios vibrant, ferulas & lampadas ferunt, saltandóque repræsentant Bacchi res gestas, subactos Indos, & Penthei supplicium [b]. Postulat hæc saltatio modos elegantissimos, numerósque rectos [c]. Gymnopædices magna similitudo est cum ea quam nominauit antiquitas ἀναπάλην [d]. Nudi saltant omnes adolescentes, concinno quodam impetu corporis, sed interscisso, molli quadam manuum figuratione, pedúmque venusto motu, vt luctę ac pancratij exhibeatur species, & exemplum. Modi sunt Bacchici [e], & quales canuntur in OEschophoris [f], vt ea saltatio omnino sit Libero patri destinata. Aristoxenus scribit antiquos exercitatos in Gymnopædice ad Pyrrhichen transire solitos, priusquam in theatrum prodirent. Vocatur & Pyrrhiche, Cheironomia [g], estque Hyporchematica [h], quia cantans in ea chorus saltat. Quamobrem Bacchylides ait,

Opus illam esse nec sedentarium [i], nec otiosorum, & cunctantium.

Pindarus autem,

Opus esse Lacedæmoniarum virginum gregis:

quoniam, vt ille scribit, Lacones eam saltant, hyporchematicam, viris communem ac mulieribus. Elegantissimi porro illi modi sunt quos saltant, nimirum Prosodiaci [k], qui & Apostolici [l], & Parthenij [m], seu Virginales appellantur. His modis & similibus Venerem, Bacchum, Pana, celebrant aliquando, aliquando minimè. Sunt & apud Barbaros, quemadmodum & Græcos, saltationes quædam commendatiores, quædam contemptiores. Apud Græcos Cordax [n] fuit despicatui, Emmeleia [o] vero in pretio, velut apud Arcadas Cidaris, apud Sicyonios Aleter [p], quem & sic appellant Ithacenses, vt scribit Aristoxenus libro De comparationibus. De saltatione tot hactenus mihi dicta sunto. Prioribus quidem sæculis in musicis quod esset decorum & honestum seruabant, ornatus proprius & aptus quibusque canticis tribuebatur, erantque singulis tibiæ peculiares, & ludis publicis, vnicuique tibicinum [q], quæ modis quadrarent: nunc verò temerè & inconsideratè musicam tractant. Pronomus Thebanus primus pro varietate tibiarum, modos distinxit. Olim populari turbæ placuisse argumentum erat artis minus absolutæ, quamobrem Asopodorus Phliasius tibicine magno plausu laudato, in hyposcenio [r] adhuc moratus, quidnam hoc est? inquit, magnum oportet aliquod malum accidisse, alioqui tam multis non probaretur. Scio [s] quibusdam de Antigenide [t] id proditum, & nostris temporibus perfectionem artis, thea-

A ἡ δὲ Πυῤῥίχη παρὰ μὲν τοῖς ἄλλοις Ἕλλησιν οὐκ ἔτι παραμένει· καὶ ἐκλειπούσης δὲ αὐτῆς, συμβέβηκε τοῦ πολέμους καταλυθῆναι. παρὰ μόνοις δὲ Λακεδαιμονίοις διαμένει προγύμνασμα οὖσα τοῦ πολέμου. ἐκμανθάνουσί τε πάντες ἐν τῇ Σπάρτῃ ἀπὸ πέντε ἐτῶν πυῤῥιχίζειν. ἡ δὲ καθ' ἡμᾶς πυῤῥίχη Διονυσιακή τις εἶναι δοκεῖ, ἐπιεικεστέρα οὖσα τῆς ἀρχαίας. ἔχουσι γὰρ οἱ ὀρχούμενοι θύρσους ἀντὶ δοράτων· προΐενται δ' ἐπ' ἀλλήλους καὶ
B νάρθηκας, καὶ λαμπάδας φέρουσιν, ὀρχοῦνταί τε τὰ περὶ τὸν Διόνυσον, καὶ τὰ περὶ τοῦ Ἰνδοὺς, ἔτι τὲ τὰ περὶ τὸν Πενθέα. τακτέον δ' ἐπὶ τῆς πυῤῥίχης 315
τὰ κάλλιστα μέλη, καὶ τοῦ ὀρθίους ῥυθμούς. ἔοικε δὲ ἡ γυμνοπαιδικὴ τῇ καλουμένῃ ἀναπάλῃ παρὰ τοῖς παλαιοῖς, γυμνοὶ γὰρ ὀρχοῦνται οἱ παῖδες πάντες εὐρύθμους φοράς τινας ἀποτέμνοντες, καὶ σχήματα τινὰ τῶν χειρῶν κατὰ τὸ ἁπαλὸν, ὥστ' ἐμφαίνειν θεώρημά τι τῆς παλαίστρας, καὶ τοῦ παγκρατίου, κινοῦντες εὐρύθμως τοῦ πόδας. τρόποι δ'
C αὐτῆς οἵτε ‖ ὀσχοφορικοὶ, καὶ οἱ βακχικοὶ, ὥστε καὶ τὴν ὄρχησιν ταύτην εἰς τὸν Διόνυσον ἀναφέρεσθαι. Ἀριστόξενος δέ φησιν, ὡς οἱ παλαιοὶ γυμναζόμενοι πρῶτον ἐν τῇ γυμνοπαιδικῇ εἰς τὴν πυῤῥίχην ἐχώρουν πρὸ τοῦ εἰσιέναι εἰς τὸ θέατρον. καλεῖται δ' ἡ πυῤῥίχη καὶ χειρονομία. ἡ δ' ὑπορχηματική ἐστιν, ἐν ᾗ ᾄδων ὁ χορὸς ὀρχεῖται. φησὶ γοῦν ὁ Βακχυλίδης οὐχ ἕδρας ἔργον, οὐ δ' ἀμβολᾶς. καὶ Πίνδαρος δέ φησι, Λάκαινα μὲν παρθένων ἀγέ-
D λα. ὀρχοῦνται δὲ ταύτην παρὰ τῷ Πινδάρῳ οἱ Λάκωνες. καί ἐστιν ὑπορχηματικὴ ὄρχησις ἀνδρῶν καὶ γυναικῶν. βέλτιστοι δέ εἰσι τῶν τρόπων οἵ τινες καὶ ὀρχοῦνται. εἰσὶ δὲ οἵδε ‖ προσῳδιακοὶ, ἀποστολικοὶ. οὗτοι δὲ καὶ παρθένιοι καλοῦνται, καὶ οἱ τούτοις ὅμοιοι. τὴν γὰρ ὕμνον οἱ μὲν ὠρχοῦντο, οἱ δὲ οὐκ ὠρχοῦντο· καὶ τοῦ εἰς Ἀφροδίτην καὶ Διόνυσον, καὶ τὴν Παιᾶνα ὅτε μὲν, ὅτε δὲ οὔ. εἰσὶ δὲ καὶ παρὰ τοῖς βαρβάροις, ὥσπερ καὶ παρὰ τοῖς Ἕλλησι σπουδαῖαι καὶ φαῦλαι ὀρχήσεις. ὁ μὲν
E κόρδαξ παρ' Ἕλλησι φορτικός, ἡ δ' ἐμμέλεια σπουδαία. καθάπερ καὶ ἡ παρὰ Ἀρκάσι κίδαρις, παρὰ Σικυωνίοις τὲ ὁ ἀλητήρ. οὕτως δὲ καὶ ἐν Ἰθάκῃ καλεῖται ἀλητὴρ, ὡς Ἀριστόξενος ἱστορεῖ ἐν πρώτῳ συγκρίσεων. καὶ περὶ μὲν ὀρχήσεως τοσαῦτά μοι ἐπὶ τοῦ παρόντος λέλεκται. τὸ δὲ παλαιὸν ἐτηρεῖτο περὶ τὴν μουσικὴν τὸ καλὸν, καὶ πάντ' εἶχε κατὰ τὴν τέχνην τὴν οἰκεῖον αὐτοῖς κόσμον. διόπερ ‖ ἦσαν ἴδιοι καθ' ἑκάστην ἁρμονίαν αὐλοὶ, καὶ ἑκάστοις αὐλητῶν ὑπῆρχον αὐλοὶ ἑκάστῃ ἁρμονίᾳ
F πρόσφοροι ἐν τοῖς ἀγῶσιν. ‖ Πρόνομος δ' ὁ Θηβαῖος πρῶτος ηὔλησεν [ἀπὸ τῶν αὐλῶν τὰς ἁρμονίας.] νῦν δὲ εἰκῇ καὶ ἀλόγως ἅπτονται τῆς μουσικῆς. καὶ πάλαι μὲν τὸ παρὰ τοῖς ὄχλοις εὐδοκιμεῖν σημεῖον ἦν κακοτεχνίας, ὅθεν καὶ Ἀσωπόδωρος ὁ Φλιάσιος κροταλιζομένου ποτέ τινος τῶν αὐλητῶν, διατρίβων αὐτὸς ἔτι ἐν τῷ ὑποσκηνίῳ, τί τοῦτ', εἶπεν, δῆλον ὅτι κέγα κακὸν γέγονεν, ὡς οὐκ ἂν ἄλλως ἐν τοῖς πολλοῖς εὐδοκιμήσαντος. οἶδα δέ τινας τοῦθ' ἱστορήσαντας, ὡς Ἀντιγενίδου εἰπόντος. καὶ οἱ καθ' ἡμᾶς δὲ τέλος ποιοῦνται τῆς τέχνης τὴν παρὰ τοῖς θεά-

γρ. ἀπὸ τῶν αὐλῶν τὰς τρεῖς ἁρμονίας

τροις εὐημερίαν. διόπερ Αριστόξενος ἐν τοῖς Συμμικτοις συμποτικοῖς, ὅμοιον φησὶ ποιοῦμεν Ποσειδωνιάταις, τοῖς ἐν τῷ Τυρσηνικῷ κόλπῳ κατοικοῦσιν, οἷς συνέβη τὰ μὲν ἐξαρχῆς Ελλησιν οὖσιν ἐκβεβαρβαρῶσθαι Τυῤῥηνοις ἢ Ρωμαίοις γεγονόσι, καὶ τὴν τε φωνὴν μεταβεβληκέναι, τά τε λοιπὰ τῶν ἐπιτηδευμάτων. ἄγειν τε μίαν τινὰ αὐτοῦ τῶν ἑορτῶν τῶν Ελληνικῶν ἔτι καὶ νῦν, ἐν ᾗ συνιόντες ἀναμιμνήσκονται τῶν ἀρχαίων ἐκείνων ὀνομάτων τε καὶ νομίμων. ἀπολοφυράμενοι δὲ πρὸς ἀλλήλους καὶ ἀποδακρύσαντες ἀπέρχονται οὕτω δὴ οὖν φησὶ καὶ ἡμεῖς, ἐπειδὴ καὶ τὰ θέατρα ἐκβεβαρβάρωται. ‖ καὶ ἐς μεγάλην [διαφορὰν] προελήλυθεν ἡ ‖ πάνδημος αὕτη μουσική, καθ' αὐτοῦ γενόμενοι ὀλίγοι ἀναμιμνησκόμεθα, εἶα ἦν ἡ μουσική. ταῦτα μὲν ὁ Αριστόξενος. κἀμοὶ δὲ διὰ τοῦτο φαίνεται φιλοσοφητέον εἶναι περὶ μουσικῆς. καὶ γὰρ Πυθαγόρας ὁ Σάμιος τηλικαύτην δόξαν ἔχων ἐπὶ φιλοσοφίᾳ, καταφανής ἐστιν ἐκ πολλῶν οὐ παρέργως ἁψάμενος μουσικῆς· ὅς γε καὶ τὴν οὗ παντὸς οὐσίαν διὰ μουσικῆς ἀποφαίνει συγκειμένην. τὸ δὲ ὅλον, ἔοικεν ἡ παλαιὰ τῶν Ελλήνων σοφία ‖ τῇ μουσικῇ μάλιστα εἶναι [δεδομένη.] καὶ διὰ τοῦτο τῶν μὲν θεῶν Απόλλωνα, τῶν δὲ ἡμιθέων Ορφέα μουσικώτατον καὶ σοφώτατον ἔκρινον. καὶ πάντας τοῦ χρωμένους τῇ τέχνῃ ταύτῃ, σοφιστὰς ἀπεκάλουν, ὥσπερ καὶ Αἰσχύλος ἐποίησεν,

Ειτ' οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν.

ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο οἱ ἀρχαῖοι, δῆλον καὶ ἐξ Ομήρου, ὃς διὰ τὸ μεμελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἀφροντιστὶ τοῦ πολλοὺς ἀκεφάλους ποιεῖ στίχους, καὶ λαγαρούς, ἔτι δὲ μειούρους. Ξενοφάνης δὲ καὶ Σόλων, καὶ Θέογνις, καὶ Φωκυλίδης, ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς, καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελῳδίαν, ἐκπονοῦσι τοῦ στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων, καὶ σκοποῦσιν ὅπως αὐτῶν μηθεὶς ἀκέφαλος ἔσται, μήτε λαγαρὸς, μήτε μείουρος. ‖ ἀκέφαλοι δέ εἰσιν οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χωλότητα ἔχοντες.

Επειδὴ νῆάς τε καὶ Ελλήσποντον ἵκοντο,
‖ Επίτονος τετάνυστο βοὸς ἶφι κταμένοιο.

Λαγαροὶ δὲ οἱ ἐν μέσῳ, οἷον,

Αἶψα δ' ἄρ' Αἰνείαν υἱὸν φίλον Αγχίσαο.
Τῶν αὖθ' ἡγήσθην Ασκληπιοῦ δύο παῖδες.

Μείουροι δέ εἰσιν οἱ ἐπὶ τῆς ‖ ἐκβολῆς, οἷον,

Τρῶες δ' ἐῤῥίγησαν, ὅπως ἴδον αἴολον ὄφιν,
‖ Καλὴ Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα.
Τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ καὶ ἤϊα.

Διετήρησαν δὲ καὶ μάλιστα τῶν Ελλήνων Λακεδαιμόνιοι τὴν μουσικὴν, πλεῖστον αὐτῇ χρώμενοι, καὶ συχνοὶ παρ' αὐτοῖς ἐγένοντο μελῶν ποιηταί. τηροῦσί γε καὶ νῦν τὰς ἀρχαίας ᾠδὰς ἐπιμελῶς,

A trorum gratia & ſucceſſu æſtimari. Quapropter Ariſtoxenus in Confuſis conuiualibus [a]: Nos id facimus, inquit, quod Poſeidoniatæ, ad Tyrrhenicum ſinum poſiti, qui antea Græci, in Tyrrhenorum aut Romanorum barbariem [b] lapſi, mutatis voce, & inſtitutis, feſto quodam vno die ex iis qui ſunt in Græcia celebres, coëunt, memoriámque refricant & priſcorum nominum, & conſuetudinum antiquarum ac legitimarum patriæ, lacrymatiq; & ſortem ſuam ad inuicẽ conqueſti diſcedunt: ſic & nos, inquit, ex quo theatra B barbarie corrupta ſunt, & publicæ diſcrimen ingens muſicæ fuit, priuatim, qui reſtamus pauci, memoria repetimus olim ea qualis fuerit. Hæc Ariſtoxenus, cuius oratione ad philoſophandum & diſputandum de muſica impellor. Etenim [c] Pythagoras Samius tam inclytus philoſophus, vt multis indiciis patet, non perfunctoriè operam impendit muſicæ, qui naturam vniuerſi muſicis rationibus fabricatam fuiſſe demonſtret: atque adeò in totum priſca Græcorũ ſapientia muſicæ fuit addictiſſima: quapropter Apollinem ex Diis, C Orpheum ex Semideis ſapientiſſimos fuiſſe, muſicéſque ſcientiſſimos autumarunt, & quicunque artem illam profiterentur, Sophiſtas appellarunt: vt Æſchylus in his:

Deinde probè teſtudinem pulſans ſophiſta.

Studio muſices veteres admodum captos fuiſſe liquet ex Homero, qui propterea quòd vniuerſam poëſim ſuam canebat certis numeris, atque modis. verſus nõ dubitauit multos facere ſubinanes [d], abſque capite, & ad extremum curtatos. Xenophanes verò, Solon, Theognis, Phocylides, Periander Corinthius elegorum ſcriptor, D & ex cæteris omnes, qui modos carminibus ſuis non admouerunt, verſus condunt metrorum ordine, ac menſura, idque laborant, ne capite verſus careant, ne ad finem ſint mutili, ne tanquam graciliores ſint ac nimis extenuati. Verſibus caput deeſt, qui à principio [e] claudicant, vt,

Επειδὴ νῆες τε, καθ' Ελλήσποντον ἵκοντο,
Poſteaquam ad naues & Helleſpontum peruenerunt: Item:
Επίτονος τετάνυστο βοὸς ἶφι κταμένοιο,
Vinculum bouis ſtrenuè mactati diſtentum erat.

Λαγαροὶ autem, & tenuiores, in quorum medio breuis occurrit ſyllaba, vt:

Αἶψα δ' ἄρ' Αἰνείαν υἱὸν φίλον Αγχίσαο;
Statim quidem Æneam charum Anchiſæ filium: &
τῶν αὖθ' ἡγήσθην Ασκληπιοῦ δύο παῖδες:
Ducebant hos rurſum Æſculapij duo filij:

μείουροι verò, & trunci, qui ad exitum & finem F ſunt eiuſmodi, vt:

Τρῶες δ' ἐῤῥίγησαν ὅπως ἴδον αἴολον ὄφιν:
Obriguerunt Troës conſpecto angue vario: &
Καλὴ Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα:
Formoſa Caſsiepea, deabus corpore ſimilis: &
Τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ καὶ ἤϊα:
Hoc impletum magnum vtrem abſtulit, ſimul & viatici commeatum.

Muſicam ex Græcis integram Lacedemonij maximè cuſtodierunt, eius plurimo apud illos vſu, & frequentibus carminum poëtis. Priſcas iidem cantiones curioſiùs memoriæ tradunt, multáſque

multáſque ex illis diſcunt, quas exactè ſciant. Itaque Pratinas ait:

Lacon cicada, in choris fœlix:

Et poëtæ diu cantiones Lyricas ſic innuerunt:

Dulciſſimorum præſidem carminum mellitis alis volantium muſam.

Nam ex auſtera moderatáque vita facilè ſeſe ad ſcientiam muſices conuertebant, quæ plurimum allicit, vt ea meritò gaudeant qui audiunt. Demetrius Byzãtius libro quarto De poëmate ſcribit Choragos vocatos fuiſſe, non, vt ſæculo noſtro, qui choros conducunt, ſed chori duces, & præfectos, vt indicat vocabulum ipſum. Muſicã ſanè veteres optimè nouerunt, eius leges nõ ſunt prætergreſſi, illi maximo ſtudio vacauerunt: ſecuta deinde totius ordinis confuſione, ſenio labaſcentibus iam cunctis ferè quæ approbarat conſuetudo, obliteratum eſt illud inſtitutum, depraua tiq́ue muſices numeri: quibus nunc cùm vtuntur ſinguli, lenitatis atque benignitatis loco irrepſit ſocors mollities: temperantiæ, inſolens audacia, ignauusq́ue animi langor, ac remiſſio, quæ fortaſſis poſthac grauiora magis vigebunt, niſi quiſpiam patriam muſicam in priſtinum ſplendorẽ aſſerat, vt, quod fiebat apud maiores, deorum laudes, heroúmque nos ácta muſicis canticis perſonemus. Homerus ſcribit Herculem ex heroibus viris ab Achille præcipuè cantionibus laudatum: Phemium [a] verò nouiſſe multa hominum delinimenta, deorum ac hominum opera, quæ poëtæ cantant. Apud Barbaros hic etiam mos inualuit, vt tradit in Perſicis Dinon, qui poëtas inquit vaticinatos eſſe primi Cyri fortitudinem, bellúmque [b] futurum cum Aſtyage. Nam priuſquam Cyrus in Perſiam peregrè diſceſiſſet, inter virgatores [c] lictoréſve Aſtyagis prius fuit, deinde inter armatos [d] ſtipatores, & poſt in Perſiam eſt amandatus. Aſtyage fortè cum amicis tum conuiuante, Angares quidam nomine, inter muſicos regios primariæ dignationis, accitus, & alia pro more cecinit, & ad vltimum dixit, In paluſtria dimitti belluam immanem, apro truculentiorem, imperaturam ſuis prouinciis, & proſperè cum paucis, aduerſus multos præliaturam: ſciſcitante verò Aſtyage, quænam illa eſſet bellua, Cyrum Perſam nominauit. Eum rex bene coniectaſſe ratus, Cyrum, ſed fruſtra, reuocauit. Mihi porrò adhuc multa de muſica diſputare cùm liceat, audiro tibiarum ſtrepitu loquacitatem meam comprimam, hæc profatus ex Philaulo [e] Philetæri:

Pulchrum eſt ô ſumme Iuppiter, mori in funere canente [f] tibia:
Apud inferos illis ſolis venereæ voluptatis
Poteſtas ſit: Quibus autem mores ſunt
Muſices ignoratione ſordidi, & ſqualidi,
Aquam in perturſum dolium conuehunt [g].

Poſt hæc de Sambuca cùm incidiſſet quæſtio, acutum eſſe Maſurius dixit eius ſonum, Ephorionémque ſcriptorem verſuum heroicorum, in libro de Iſthmiis, eius feciſſe mentionem, nempe quatuor fidibus tenſum inſtrumentum illud vſitatum eſſe Parthis, & Troglodytis,

A ‖ πολυμαθεῖς τε εἰς ταῦτας εἰσὶ καὶ ἀκριβεῖς. ὅθεν καὶ Πρατίνας φησὶ Λάκων ὁ τεττιξ [‖ εὔτυχ@ εἰς χορόν.] ‖ διὸ δὲ οἱ ποιηταὶ διετέλουν πρεσαγορεύοντες ἔτως τὰς ᾠδάς, γλυκυτάτων πτύξανιν ὕμνων, [καὶ ‖ μέλεα μελιηπέρωτα Μοῦσαν.] ἀπὸ γὰρ τῆς ἔξεως σωφροσύνης καὶ αὐχημέων ἀσμένως ἅπτεται τῶν μουσικῶν, ἐχούσης τὸ κηλητικὸν τῆς ἁπτομένης. εἰκότως οὖν ἐγίνετο χαίρειν τοῦτ' ἀκροωμένους. κἀκάλουν ἢ καὶ ‖ χορηγέν, ὡς φησιν ὁ Βυζάντιος Δημήτριος ἐν τετάρτῳ Περὶ ποιήματ@, ἐκάλουν ὥσπερ νῦν τοὺς μαθωμένους τοὺς χορούς, ἀλλὰ τοὺς καθηγουμένους τοῦ χοροῦ. [καθάπερ αὐτὸ τοῦνομα σημαίνει. ‖ ἢ τὸ χρησομουσεῖν, καὶ μὴ πρόσθεσιν ποιεῖν] τοὺς ἀρχαίους τῆς μουσικῆς νόμους. συνέβαινε γὰρ μὴ παλαιὸν φιλομουσεῖν τοὺς Ἕλληνας. μετὰ γὰρ τὴν γνωμένης ἀταξίας, καταγηράσαντων σχεδὸν αὐτῶν τῶν ἀρχαίων νομίμων, ἥτε προαίρεσις αὐτὴ καλελύθη, καὶ τρόποι μουσικῆς φαῦλοι καὶ εὐδιέχθησαν, οἷς ἕκας@ τῶν γνωμένων, ἀντὶ μὲν πεφότηκ@, προεπροιεῖτο μαλακίαν, ἀντὶ δὲ σωφροσύνης, ἀκολασίαν καὶ ἄνεσιν. ἔσχε δ' ἴσως τοῦτο μᾶλλον καὶ ἧττον προαχθῆσθαι, ἐὰν μή τις ἀγάγῃ πάλιν εἰς τὸ συμφανὲς τὸν πάτριον μουσικὸν. τὸ παλαιὸν γὰρ καὶ τῶν ἡρώων αἱ πράξεις, καὶ τῶν θεῶν οἱ ὕμνοι δι' ᾠδῆς ἐποιοῦντο. ‖ Ὁμηρ@ γοῦν φησιν ἐπ' Ἀχιλλέως, ἀείδε δ' ἄρα κλέα ἀνδρῶν Ἡρώων. καὶ τὸν Φήμιον δέ φησιν ἔτι,

—πολλὰ ἕρροντα θελκτήρια οἶδεν·
Ἔργ' ἀνδρῶν τε θεῶν τε κλείουσιν ἀοιδοί.

D ‖ τὸ δ' ἔθος τοῦτο καὶ παρὰ τοῖς Βαρβάροις ἐσώζετο ὡς φησι Δίνων ἐν τοῖς Περσικοῖς. τὸν γοῦν Κύρον πρεσβεύειν ἀνδρείαν, ὡς τὸν μέλλοντα πόλεμον ἔσεσθαι πρὸς Ἀστυάγη προειδότα οἱ ᾠδούς. ὅτε δὲ φησὶν ἡγήσατο τὸν εἰς Πέρσας ἀποδημίαν ὁ ‖ Κύρ@. ἐγένετο δὲ αὐτοῦ πρότερον ἔτι τῶν ῥαβδοφόρων, εἶθ' ὕστερον ἔτι τῶν ὁπλοφόρων καὶ ἀπῆλθεν οὐκ ὀχουμένῳ οὖν δ' Ἀστυάγης μετὰ τῶν φίλων, τότε ‖ Ἀγγάρης ὄνομα (ἦν δὲ οὗτος τῶν ᾠδῶν ὁ ἐνδοξότατ@) ᾄσας εἰσκληθεὶς, ἅτε τὰ ἄλλα τῶν εἰθισμένων, καὶ τὸ ἔσχατον εἶπεν, ὡς ἀφεῖται εἰς τὸ ἔλ@ θηρίον μεγα θρασύτερον ὑὸς ἀγρίᾳ, ὃ αὖ κυριεύσῃ τῶν καθ' αὑτὸν πάντων, πολλοῖς μετ' ὀλίγων ῥᾳδίως μαχεῖται. ἐρομένῳ δὲ Ἀστυάγει ποῖον θηρίον; ἔφη, Κῦρον τὸν Πέρσην. νομίσας οὖν ὀρθῶς αὐτὸ ὑποπτεύκεναι, καὶ μεταπεμπόμενος ἄδειν ἐκώλυσεν. ἐγὼ δ' ἔχων ἔτι πολλὰ λέγειν περὶ μουσικῆς αὐλῶν ἀκούων βόμβον καταπαύσω τὸ πολύλογον τὰ ἐκ φιλαύλου φιλεταίρου ἐπέων·

Ὦ Ζεῦ καλόν γ' ἐστὶν ὑποθανεῖν αὐλούμενον.
Τέτοῖς ἐν ἅδου γὰρ μόνοις ἔξεστιν
Ἀφροδισιάζειν ἐστίν. οἱ δ' οὐ τρόπους
Ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπείρου,
Εἰς τὸν πίθον φέρουσι τὸν τετρημμένον.

Μετὰ δὲ ταῦτα ζητήσεως γνωμένης περὶ σαμβύκης ἔφη ὁ Μασύριος ὀξύφθογγον εἶναι μουσικὸν ὄργανον τὴν σαμβύκην. διειλέχθαι τε περὶ αὐτοῦ Ἑτοφορίωνα τὸν αὐτὸν ἐποποιὸν ἐν τῷ Περὶ Ἰσθμίων, χρῆσθαι φήσας αὐτῷ Πάρθους καὶ Τρωγλοδύτας

τέτρα

a γρ. εὔτυκ@ εἰς χορόν. vel, εὔτυκ@

b γρ. ἢ μέλεα. μέλη πτερωτὰ Μούσαν.

c 314

d γρ. (καθάπερ αὐτὸ τοῦνομα πρὸς τὸ χρησμουσεῖν, ἢ μὴ π.

τετραχόρδῳ ὄντι. ἱστορεῖν δ' τοῦτον Πυθαγόραν ἐν τῷ Περὶ τῆς ἐρυθρᾶς θαλάσσης καλεῖται δέ τι καὶ τῶν πολιορκητικῶν ὀργάνων σαμβύκη. οὗ τε σχῆμα, & τὴν καθασκευὴν ἀποδείκνυσι Βίτων ἐν τῷ περὶ Ἀτταλον περὶ ὀργάνων. καὶ Ἀνδρέας ὁ Παῦρμήτης ἐν τῷ τριακοστῷ τρίτῳ τῶν Σικελικῶν τῶν καθ' πόλιν, ‖ ὡς [ἀπὸ δύο ὄνων] προσαγομένων τῆς τῶν ἐναντίων τείχεσι, καλεῖσθαί τε σαμβύκην, ἐπειδὴ ὅταν ἐξαρτηθῇ γίνεταί σχῆμα νεὼς καὶ κλίμακος ἐνοποιούμενον. ὁμοίου δέ τι ἐστὶ καὶ τὸ τῆς σαμβύκης, Μόσχος δ' ἐν πρώτῳ Μηχανικῶν, Ρωμαϊκὸν εἶναί λέγει τὸ μηχάνημα, καὶ Ἡρακλείδην τὸν Ταραντῖνον εὑρεῖν αὐτό φησι. Πολύβιος δ' ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν, Μάρκελλόν φησιν δυσχρησούμενον ἐν τῇ Συρακουσῶν πολιορκίᾳ ὑπὸ τῶν Ἀρχιμήδους καθασκευασμάτων, ἔλεγε ‖ ταῖς μὲν ναυσὶν αὐτοῦ ‖ κυματίζειν ἐκ θαλάσσης Ἀρχιμήδη, ταῖς δὲ σαμβύκας ῥαπτομένας ὥσπερ ἐκ ‖ πόρου μεθ' αἱμιολίας ἐκπεπωκέναι εἰπόντα δ' ὅτι τοῦτο Αἰμιλιανοῦ, ἀλλὰ μὲν ὦ ἑταῖρε Μασσύριε πολλάκις κἀγὼ ἐν ἐννοίᾳ γίνομαι μουσικῆς ὢν ἐραστὴς περὶ τῆς μαγάδιδος καλουμένης, πότερον αὐλῶν εἶδός ἐστι κιθαρίσεως ἐστίν. ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων λέγει που, ψάλλω δ' ἑκτὼ χορδαῖσι μάγαδιν ἔχων ὦ λύκαινα, σὺ δ' ἠδᾶς, Ἰων δ' ὁ Χῖος ἐν Ὀμφάλῃ, ὡς περὶ αὐλῶν λέγει λέγει δὲ τοῦτον,

Λυδός τε μάγαδις αὐλὸς ἡγείσθω βοῆς.

Οὗτος ἐξηγούμενος ἰαμβεῖον Ἀρίσταρχος ὁ γραμματικὸς, ὃν μάλιστα ἐκάλει Παναίτιος ὁ Ῥόδιος φιλόσοφος, διὰ τὸ ῥᾳδίως καταμανθάνεσθαι τῆς τῶν ποιημάτων διανοίας, γλῶσσαν αὐλοῦ φησὶν εἶναι τὴν μάγαδιν, οὔτ' Ἀριστοξένου τοῦτ' εἰπόντος ἐν τοῖς Περὶ αὐλητῶν, ἢ ἐν τοῖς περὶ αὐλῶν & ὀργάνων, ἀλλὰ μὲν δὴ Ἀρχεστράτου πεποιῆσθαι γὰρ καὶ τούτῳ δύο βιβλία περὶ αὐλητῶν. οὐκ εἶπε δὲ τοῦτο οὐδὲ Πύραντρος ἐν τῷ περὶ αὐλητῶν. ‖ ὁ δὲ [φίλλις] ὁ Δήλιος ἐξενέγραψε γάρ καὶ ἔστιν περὶ αὐλητῶν, καὶ Εὐφράνωρ. Τρύφων δ' ἐν δευτέρῳ Περὶ ὀνομασιῶν λέγει οὕτως. ὁ μὲν μάγαδις καλούμενος αὐλός, καὶ πάλιν, μάγαδις ἐν ταὐτῷ ὀξεῖαν καὶ βαρεῖαν φθόγγον ἀπεδείκνυται. ὡς Ἀλεξανδρίδης ἐν Ὁπλομάχῳ φησὶ,

‖ Μάγαδιν λαλήσω μικρὸν ἅμα σοι καὶ μέγαν.

Τὴν δ' ἀπορίαν οὖν μοι ταύτην λύσει ἄλλος δυνήσεται δ' ἀπολύσασθαι καλὲ Μασσύριε ἢ σύ. & ὃς ἔφη Δίδυμος ὁ γραμματικὸς ἐν ταῖς περὶ Ἰωνα ἀπεξηγήσεσιν ἐταῖρε Αἰμιλιανὲ ‖ μάγαδιν αὐλὸν ἀκούει τὸν κιθαριστήριον, οὗ μνημονεύει Ἀριστόξενος ἐν πρώτῳ Περὶ αὐλῶν τρήσεως, λέγων πέντε χρὴ εἶναι αὐλῶν, παρθενίους, παιδικοὺς, κιθαριστηρίους, τελείους. ἢ ἐλλείπει οὖν δεῖ προσθεῖναι τῷ Ἰωνι τὸν τε σιῶδεσμον, ἵν' ᾖ μάδαδις αὐλὸς ὁ περισαυλούμενος τῇ μαγάδι· ἢ γὰρ μάγαδις ὄργανον ἐστὶ ψαλτικὸν, ὡς Ἀνακρέων φησὶ Λυδῶν τε εὕρημα· διὸ & τὰς Λυδὰς ψαλτρίας φησὶν εἶναι ὁ Ἰων ἐν τῇ Ὀμφαλῇ διὰ τούτων,

Αλλ' αἱ Λυδαὶ ψάλτριαι ‖ παλαιτέλων
Ὑμνων ἀοιδοὶ τὸν ξένον κοσμήσατε.

A hócque proditum à Pythagorâ, libro De Mari rubro. Est & Sambuca machinæ bellicæ genus, oppugnandis vrbibus idoneum [a], cuius figuram & structuram Biton explicat libro De machinis ad Attalũ. Andreas Panormitanus libro trigesimo tertio rerum Sicularum, in oppidis memorabilium scribit, aduersariorum mœnibus duabus suculis admoueri, & cùm erecta fuerit, eius formam similem esse nauium scalis [b] foras proiectis, & expansis. Moschus verò libro quinto De machinis, Romanorum machinam esse tradit, cuius fabricam & speciem inuenerit Heraclides Tarentinus. Polybius octauo libro historiarum, Marcellus, inquit, in Syracusarum obsidione, ab Archimedis instrumentis & fabricis conflictatus, dicebat, suas è mari naues Archimedem sorbere [c], quassatásque Sambucas suas veluti percussas colaphis, fœdè in mare proturbari. Interpellat tum Æmilianus, &, ô amice Masuri, Sæpius, inquit, animo voluo, quandoquidem musicam amo, quam Magadidem vocant, an tibiæ species ea sit, an citharæ. Alicubi namque dulcissimus Anacreon inquit,

Magadim habens [d] viginti fidibus cano, ô Leucaspi, tu verò pubescens inuenaris:

Ion verò Chius in Omphale quasi de tibia, sic ait:

Lydia magadis tibia voci præeat:

quem iambicum versum cùm interpretatur Aristarchus grammaticus, à Panætio Rhodio philosopho vates & diuinus appellatus, quòd facile poëtarum sensus peruideret, & enuclearet, tibiæ genus esse dicit, contra iudicium Aristoxeni in libris de Tibicinibus, ac in libris de tibiis, & musicis instrumentis: contra sententiam, & Archestrati, qui libros duos composuit De tibicinibus, & Phillidis Delij, qui etiam de tibicinibus, librum edidit [e], & EVphranoris. Tryphon libro secundo De appellationibus inquit, quam Magadon & Magadin vocant, in eadem syllaba tum acuta, tum graui accentu notari, ideóque Alexandridem in Armato bellatore sic dicere,

Magadin [f] tibi magnum & pusillum loquar.

Hanc præter solum te, dubitationem mihi nemo dissoluet, ô probe Masuri. Tum ille: Didymus grammaticus in suis Ioni contrariis expositionibus, ô amice Æmiliane, tibiam exponit Citharisticam [g], memoratam ab Aristoxeno, libro primo De tibiarum perforatione: quo loco ait tibiarum esse quinque genera, puellares, pueriles, citharisticas perfectas. Deesse itaque apud Ionem oportet iungenda hæc vocabula, Magadin tibiam vocari, qua etiam cum cithara canunt. Magadin instrumentum dici cantionibus aptum, à Lydis repertum. Anacreon inquit: quamobrem Lydias mulieres psaltrias & cantatrices vocari Ion autor est in Omphale, his verbis:

At vos Lydiæ psaltriæ vetustorum
Hymnorum cantatrices ornate hospitem.

Theo

χ. ἀπὸ δύο νεῶν?

Cap. IV.

χ. Φύλλις

Theophilus in actu comœdiarum cantor, in Neoptolemo, cum magade canere, μαγαδίζειν ita dixit:

Improbi tum patris est, tum filij, rotæ insidentibus μαγαδίζειν:
Nostrûm modos illos nemo canit.

EVphorion in libro De Isthmiis scribit Magadin priscum esse instrumentum, seróque admodum eius mutatam esse fabricam, vnà cum nomine, vocatúmq; fuisse à posteris Sambucam: frequentissimum id esse apud Mitylenęos, idcóque à Lesbothemide, antiquo statuario vnam ex Musis sculptam, quæ illud teneret. Menæchmus libro De artificibus, Magadin ait eandem esse cum Pectide [b], & inuentam à Sappho. Aristoxenus scribit Magadis & Pectidis absque plectro vsum esse in canticis, idcóque Pindarum in suo ad Hieronem Scolio [c] Magadin appellasse cantum reciprocum [d], quòd duplicis generis semper [e] concentus adesset, nempe virorum & puerorum. Phrynichus in Phœnissis ait:

Cantici modos personantes reciprocatos [f].

Sophocles in Mysis:

Phryges multi Pectidis triangulæ
Concentus reciprocos voce modulabantur.

Est autem hoc in quæstione, cùm instrumenta quæ fidibus multis tenduntur, in vsum tardius venerint, quo pacto Anacreontis sæculo Magadis nota fuerit. Eius enim sic meminit poëta:

Fidibus viginti cano, Magadin habens, ô Leucaspi.

Posidonius quidem ait, numerorum illum trium mentionem fecisse, Lydij, Dorij, Phrygij, qui solùm essent ipsi vsitati. Horum quisque septem fidibus quoniam absoluitur, rectè poëtam dixisse, viginti se fidibus canere, vna detracta, pari numero id enuntiantem. At ignorat Posidonius, Magadin antiquum esse instrumentum, cùm diserte Pindarus scribat, à Terpandro excogitatam fuisse Barbiton, cuius sonus Lydiæ Pectidi æquiparandus sit:

Barbiton, inquit, Lesbius Terpander inuenit primus:
Cùm in cœnis audiuisset sublimis Lydiæ Pectidis
Cantum suæ Barbito parem.

Iam Magadin eandem esse cum Pectide constat ex Aristoxeno, & Menæchmo Sicyonio, in libro De artificibus, qui Sappho Anacreonte priorem, ante omnes Pectide vsam fuisse tradit. Anacreonte verò Terpandrum esse vetustiorem, hoc argumento est, quòd in Carneis [g] omnium primus vicerit, vt scribit Hellanicus in suis metris, sigillatim recensens in Carneis victoriam assecutos: Sunt autem festi dies illi vigesima sexta Olympiade instituti, vt ait Sosimus libro de Temporibus. Heronymus libro de Citharœdis, qui septimus est operis eius De poëtis, Lycurgo leg; latori coæuum fuisse Terpandrum ait, quem [h] magno consensu tradunt omnes cum Iphito Eleo, quâ primam Olympiadem nominant, condidisse ac instituisse. EVphoriõ libro De Isthmiis scribit, musica instrumẽta, quibus multę fides adnectũtur, appellatione tãtũ esse mutata, & antiquissimũ fuisse illorũ vsum.

Θεόφιλος δ' ὁ κωμῳδικὸς ἐν Νεοπτολέμῳ, καὶ τὸ τῇ μαγάδι ᾄδειν, μαγαδίζειν λέγει ἐν τούτοις,

Πονηρὸν ἦθος ἐστὶ καὶ πατέρα καὶ μητέρα
Ἐπὶ μαγαδίζειν, ὅπου τροχὸς καθημμένους.
Οὐδεὶς γὰρ ἡμῶν ἑαυτὸν ᾄδει μέλη.

EVφορίων δ' ἐν τῷ Περὶ Ἰσθμίων, παλαιὸν μὲν φησὶ εἶναι τὸ ὄργανον τὴν μάγαδιν, μετασκευασθῆναι δ' ὑψηλοτέραν καὶ σαμβύκῃ μετονομασθῆναι. 315
πλεῖον δ' εἶναι τοῦτο τὸ ὄργανον ἐν Μιτυλήνῃ, ὡς καὶ μίαν τῶν Μουσῶν ἔχουσαν αὐτὸ, ὑπὸ Λεσβοθεμίδος ποιηθῆναι ἀρχαίου ἀγαλματοποιοῦ. Μέναιχμος δ' ἐν τοῖς Περὶ τεχνιτῶν τὴν πηκτίδα λέγει τὴν αὐτὴν εἶναι τῇ μαγάδι. Σαπφὼ φησὶν οὐρεῖν. Ἀριστόξενος δὲ τὴν μάγαδιν καὶ τὴν πηκτίδα χωρὶς πλήκτρου ἁπτομένας ψαλμοῦ παρέχεσθαι τὴν χρείαν. διόπερ καὶ Πίνδαρον εἰρηκέναι ἐν τῷ περὶ Ἱερωνα σκολιῷ, τὴν μάγαδιν ὀνομάσαντα ψαλμὸν ἀντίφθογγον, ἁπτόμενον δύο χορδῶν ἅμα καὶ παισὶν ἁρμόττειν τὴν συμφωνίαν ἀνδρῶν τε καὶ παίδων. καὶ Φρυνίχος δ' ἐν Φοινίσσαις εἴρηκε,

Ψαλμοῖσιν ἀντίπαιδας ἀείδοντες μέλη.

Καὶ Σοφοκλῆς ἐν Μυσοῖς,

Πολὺς δὴ φρυγῶν ἀντίπαις ἀχὼ γε,
Αὐδᾷ δ' ἐφύμνει πηκτίδων συγχορδία.

Διαποροῦσι δ' ἔνιοι ὅπως τῆς μαγάδος οὔσης καθ' Ἀνακρέοντα (ὅτε γὰρ πολεμεῖσθαι πολύχορδα ὀφθῆναι) μνημονεύων αὐτῆς ὁ Ἀνακρέων λέγῃ, ψάλλω δ' εἴκοσι χορδαῖσι μάγαδιν ἔχων ὦ Λεύκασπι. καὶ ὁ μὲν Ποσειδώνιος φησὶ τριῶν μελῳδιῶν αὐτὸν μνημονεύειν Φρυγίου τε καὶ Δωρίου καὶ Λυδίου. ταύταις γὰρ μόναις τὸν Ἀνακρέοντα κεχρῆσθαι, ὧν ἑπτὰ χορδαῖς ἑκάστης ἁρμοζομένης. εἴκοσιν οὖν φάναι ψάλλειν αὐτὸν εἴκοσι χορδαῖς τῷ ἀρτίῳ χρησάμενον ἀριθμῷ τὴν μίαν ἀφελόντα. ἀγνοεῖν δ' ὁ Ποσειδώνιος ὅτι ἀρχαῖόν ἐστιν ὄργανον ἡ μάγαδις, σαφῶς Ἠυδάρου λέγοντος τὸν Τέρπανδρον ἀντίφθογγον οὐρεῖν τῇ Λυδιστὶ πηκτίδι τὸν βάρβιτον. τὸν ῥα Τέρπανδρος ποθ' ὁ Λέσβιος εὗρε πρῶτος ἐν δείπνοισι Λύδιον ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πηκτίδος. πηκτὶς δὴ καὶ μάγαδις ταὐτὸν, καθά φησιν ὁ Ἀριστόξενος. ὁ δὲ Μέναιχμος ὁ Σικυώνιος, ἐν τοῖς Περὶ τεχνιτῶν καὶ τὴν Σαπφὼ δέ φησιν οὕτως, ἥτις ἐστὶν Ἀνακρέοντος πρεσβυτέρα, πρώτην χρήσασθαι τῇ πηκτίδι. ὅτι δὲ καὶ Τέρπανδρος ἀρχαιότερος Ἀνακρέοντος, δῆλον ἐκ τούτων. τὰ Καρνεῖα πρῶτος πάντων Τέρπανδρος νικᾷ, ὡς Ἑλλάνικος ἱστορεῖ, ἐν τοῖς ἐμμέτροις Καρνεονίκαις, καὶ τοῖς καταλογάδην. ἐγίνετο δὲ ἡ θέσις τῶν Καρνείων κατὰ τὴν ἕκτην καὶ εἰκοστὴν ὀλυμπιάδα, ὡς Σώσιμος φησὶν ἐν τῷ Περὶ χρόνων. Ἱερώνυμος δ' ἐν τῷ Περὶ κιθαρῳδῶν, ὅστις ἐστὶ πέμπτος τῶν ποιητῶν, καθ' Λυκοῦργον τὸν νομοθέτην, τὸν Τέρπανδρον φησὶ γενέσθαι, ὃς ὑπὸ πάντων συμφώνως ἱστορεῖται μετὰ τοῦ Ἰφίτου τοῦ Ἠλείου τὴν πρώτην ἀριθμηθεῖσαν τῶν Ὀλυμπίων θεσθῆναι. EVφορίων τε ἐν τῷ περὶ Ἰσθμίων καὶ πολύχορδα φησὶ τῶν ὀργάνων ὀνόμασι μόνον παρηλλάχθαι· παμπάλαιον δ' αὐτῶν εἶναι τὴν χρῆσιν.

Δια

‖Διογλύης δ' ὁ τραγικὸς διαφέρειν πηκτίδα μαγάδιδος, λέγων οὕτως ἐν τῇ Σεμέλῃ,

Καί τι κλύωμεν Ασιάδος μιτηφόρους
Κυβέλας γυναῖκας παῖδας ὀλβίων φρυγῶν,
[Τυμπάνοισι]κ' βομβοῦσι κ' χαλκηλύπων
[Βόμβοις] βρεμούσας[ἀντι χερσὶ]κυμβάλων,
Σοφὸν θεῶν ὑμνῳδὸν ἰατρὸν θ' ἅμα,
Κλύω δ' Λυδὰς Βακτρίας τε παρθένους,
Ποταμῷ παροίκους Αλυϊ, Τμωλίαν θεὸν,
Δαφνοσκιον κατ' ἄλσος Αρτεμιν σέβειν,
[Ψαλμοῖς τριγώνων πηκτίδων τε Περσικῶν,
Αντιζύγοις ὀλκοῖς ‖ κρεκούσαις μάγαδιν ἔνθα
Περσικῷ
Νόμῳ ξενωθεῖς]αὐλὸς ὁμοναῖ χοροῖς.

καὶ Φίλλις δ' ὁ Δήλιος ἐν δευτέρῳ Περὶ μουσικῆς, διαφέρειν φησὶ πηκτίδα μαγάδιδος, λέγων οὕτως, Φοίνικες, πηκτίδες, μαγάδιδες, [‖σαμβύκαι, ἰαμβοι, κ' τριγωνα]κλεψιαμβοι, ἐννεάχορδα. ἐν οἷς γὰρ φησι δεῖ ἰάμβους ἦδον, ἰαμβυκὰς σκάλουν· ἐν οἷς δὲ παρελαμβάνοντο τὰ ἐν τοῖς μέτροις κλεψιάμβους. μαγάδιδας δὲ τὰ διὰ πασῶν, καὶ πρὸς ἴσα τὰ μέρη τῶν ἀδόντων ἁρμοσμένα, κ' ἄλλα δὲ ὧν αὐτὰ καὶ τὰ ‖βάρβιτος ἢ ‖βάρμος καὶ ἄλλα πλείονα. ‖τὰ μὲν ἔγχορδα, τὰ δὲ ἔνηχα καλεσκεύαζον. ὧν γὰρ δή ἐστι, καὶ χωρὶς τῶν ἐμφυσωμένων κ' χορδαῖς διειλημμένων ἕτερα, ψόφου μόνον ἕνεκα σκευαστικά, καθάπερ τὰ κρέμβαλα. περὶ ὧν φησι Δικαίαρχος ἐν τοῖς περὶ τῆς Ελλάδος βίᾳ διαπίπτειν, φάσκων ποτὲ καθ' ὑπερβολὴν εἰς τὸ περιορχεῖσθαί τε καὶ περιᾴδειν ταῖς γυναιξὶ ὄργανα τινὰ ποιᾶ, ὧν ὅτε τις ἅπτοιτο τοῖς δακτύλοις, ποιεῖν λιγυρὸν ψόφον· δηλοῦσθαι δ' ἐν τῷ τῆς Αρτέμιδος ᾄσματι, οὗ ἐστιν ἀρχή· Αρτεμι σοί με τὸ φρὶν ἐφ' ἡμέρον ὕμνον ἱεναι τε, ὅθεν ἀδὲ λὶς ἀλλὰ χρυσοφανῆ κρέμβαλα χαλκοπάραα χερσίν. Ερμιππος δ' ἐν Θεοῖς τὸ τύριν κρούειν, κρεμβαλίζειν εἰρηκεν ἐν τύρεις. λεπάδας γ' πετρῶν ἀποσκήπτοντες κρεμβαλίζουσι. Διδυμος δὲ φησιν εἰωθέναι λινᾶς ἀντὶ τῆς λύρας κογχύλια καὶ ὄστρακα συγκρούοντας, εὔρυθμον ἦχον τινὰ ἀποτελεῖν τοῖς ὀρχουμένοις, καθάπερ καὶ Αριστοφάνης ἐν Βατράχοις φάναι. Αρτεμων δ' ἐν τῷ πρώτῳ περὶ Διονυσιακοῦ ὑπομνήματος, Τιμόθεον φησὶ τὸν Μιλήσιον παρὰ τοῖς πολλοῖς δόξαι πολυχορδοτέρᾳ συσκευῇ χρήσασθαι τῇ μαγάδιδι, διὸ καὶ παρὰ τοῖς Λάκωσιν εὐθυνόμενον ὡς παραφθείροντα τὴν ἀρχαίαν μουσικὴν, καὶ μέλλοντες λύειν σκυτέμνειν αὐτοῦ τὰς περιττὰς τῶν χορδῶν, δείξαι τὸ αὐτῶν ὑπάρχοντα Απολλωνιάκον, περὶ τὴν αὐτὴν συντάξιν ἰσόχορδον λύραν ἔχοντα, καὶ ἁρμοττομένην. Δέρκυλις δ' ἐν τῷ Περὶ τραγῳδίας ὀνομάζειν φησὶ τὴν μάγαδιν ἀπὸ Μάγδιος Θρᾳκὸς γένους. Απολλόδωρος δ' ἐν τῇ πρὸς τὴν Αριστοκλέους ὑπόθεσιν ἀντιγραφῇ, ὃ νῦν φησὶ ἡμεῖς λέγομεν ψαλτήριον, τότ' εἶναι μάγαδιν. ὁ δὲ κλεψίαμβος κληθεὶς, ἐπεὶ ὁ τρίγωνος κ' ὁ ἔλυμος, καὶ τὸ ἐννεάχορδον ἁπλούστερα τῇ χρείᾳ καθέστηκε. κ' Αλκμὰν δέ φησι, μάγαδιν δ' ὑποθέσθαι.

Diogenes tragicus in Semele, à Magade differre Pectidem sic ait:

Auditione cognouimus mithratas,
Cybeles fœminas [a], *fortunatis fatas Phrygibus,*
